scripsit Elms. pro γενομένην. 10 ἀγαγεῖν L. ἀπαγαγεῖν A, B. 14 Κολωνῆθεν B, Κολώνηθεν L, Κολωνόθεν A et Ald. Cf. Eustath. p. 351. 10 ap. Elms. ὁ δ' ἐκεῖθεν δημότης...κολώνηθεν ἐλέγετο φῦναι, οὐ κολωνόθεν, ὡς ὅμοιον ὂν κολωνὸν καὶ κολώνην εἰπεῖν, καὶ ἐκ κολωνοῦ καὶ κολώνηθεν. Sic Dem. *In Mid.* § 64 Φιλόστρατον ...τὸν Κολωνῆθεν. ἀποδεῖξαι ('constituere') L, recte, opinor. Elmsleius ἐπιδεῖξαι, non ex coniectura (ut Dindorfium secutus Blaydes. refert), sed ex cod. A, ut ipse memorat. 16 καὶ ante ὅτι addit L. 18 ἱππίῳ] ἱππείῳ L.

## II.

Τὸν ἐπὶ Κολωνῷ Οἰδίπουν ἐπὶ τετελευτηκότι τῷ πάππῳ Σοφοκλῆς ὁ υἱιδοῦς ἐδίδαξεν, υἱὸς ὢν Ἀρίστωνος, ἐπὶ ἄρχοντος Μίκωνος, ὅς ἐστι τέταρτος ἀπὸ Καλλίου, ἐφ' οὗ φασιν οἱ πλείους τὸν Σοφοκλέα τελευτῆσαι. σαφὲς δὲ τοῦτ' ἐστὶν ἐξ ὧν ὁ μὲν Ἀριστοφάνης ἐν τοῖς Βατράχοις ἐπὶ Καλλίου ἀνάγει τοὺς τραγικοὺς ὑπὲρ γῆς, ὁ δὲ Φρύνιχος ἐν Μούσαις, ἃς συγκαθῆκε τοῖς Βατράχοις, φησὶν οὕτως·

μάκαρ Σοφοκλέης, ὃς πολὺν χρόνον βιοὺς
ἀπέθανεν, εὐδαίμων ἀνὴρ καὶ δεξιός,
πολλὰς ποιήσας καὶ καλὰς τραγῳδίας·
καλῶς δ' ἐτελεύτησ', οὐδὲν ὑπομείνας κακόν.

ἐπὶ δὲ τῷ λεγομένῳ ἱππίῳ Κολωνῷ τὸ δρᾶμα κεῖται. ἔστι γὰρ καὶ ἕτερος Κολωνὸς ἀγοραῖος πρὸς τῷ Εὐρυσακείῳ, πρὸς ᾧ οἱ μισθαρνοῦντες προεστήκεισαν, ὥστε καὶ τὴν παροιμίαν ἐπὶ τοῖς καθυστερίζουσι τῶν καιρῶν διαδοθῆναι

ὀψ' ἦλθες, ἀλλ' εἰς τὸν Κολωνὸν ἴεσο.

μνημονεύει τῶν δυεῖν Κολωνῶν Φερεκράτης ἐν Πετάλῃ διὰ τούτων·

οὗτος, πόθεν ἦλθες; Εἰς Κολωνὸν ἱέμην,
οὐ τὸν ἀγοραῖον, ἀλλὰ τὸν τῶν ἱππέων.

2 ὅς ἐστι τέταρτος L. ὃς τέταρτος vulg. 5 τραγικοὺς ex coniectura dedit Clinton. (*Fast. Hellen.* vol. II. p. xxxvi) pro στρατηγοὺς, quod L habet. Ut monet Elms., 'non Aristophanes Ranis, sed Eupolis Δήμοις, ἀνάγει τοὺς στρατηγοὺς ὑπὲρ γῆς, nempe Miltiadem, Aristidem, Cimonem, Periclem.' Librario certe, non scriptori, tribuendus est error. 10 καλῶς δ'] καλῶς L: δ' addidit Hermann. 11 ἱππίῳ] ἱππείῳ L.

---

2 Μίκωνος] Micon was the ἄρχων ἐπώνυμος of Ol. 94, 3=402 B.C., Callias of Ol. 93, 3=406 B.C. Between them came Alexias (405), Pythodorus (404, the Anarchy), and Eucleides (403). The comedy of the *Frogs* was acted at the Lenaea of 405 B.C., *i.e.* about the beginning of Feb. (C. F. Herm. *Ant.* II. § 58), and Sophocles was then dead. Curtius (*Hist. Gr.* IV. 79 tr. Ward) and others date his death 405 B.C.; and, supposing him to have died at the beginning of the year, this suits the other data. He died in Ol. 93, 3 and in the archonship of Callias (Diod. 13. 103); but that Olympic year, and